UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

XXVI

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

6 ὕπνου λαβεῖν πυκνὰ σημαίνων· καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος ἐντυγχάνειν τοῖς ἐκ τῆς μάχης ἐπανιοῦσι καὶ διηγεῖσθαι ὡς κινδυνεύσας· ‘ἕνα σέσωκα τῶν φίλων’· καὶ εἰσάγειν πρὸς τὸν κατακείμενον σκεψομένους [τοὺς δημότας] τοὺς φυλέτας καὶ τούτων ἅμ’ ἑκάστῳ διηγεῖσθαι, ὡς αὐτὸς αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν.

## XXVI ΟΛΙΓΑΡΧΙΑΣ ΚϚ´

1 Δόξειεν δ’ ἂν εἶναι ἡ ὀλιγαρχία ⟨φιλαρχία⟩ τις ἰσχύος καὶ κέρδους γλιχομένη, ὁ δὲ ὀλιγαρχικὸς τοιοῦτός ⟨τις⟩, οἷος
2 τοῦ δήμου βουλευομένου, τίνας τῷ ἄρχοντι προσαιρήσονται τῆς πομπῆς τοὺς συνεπιμελησομένους, παρελθὼν ἀποφήνασθαι, ὡς δεῖ αὐτοκράτορας τούτους εἶναι, κἂν ἄλλοι προβάλλωνται δέκα, λέγειν· ‘ἱκανὸς εἷς ἐστι, τοῦτον δὲ ὅτι δεῖ ἄνδρα εἶναι’. καὶ τῶν Ὁμήρου ἐπῶν τοῦτο ἓν μόνον κατέχειν, ὅτι ‘οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω’, τῶν δὲ
3 ἄλλων μηδὲν ἐπίστασθαι. ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις

---

29 Epitome Oxyrh. Pap. IV 156 (n. 699, 2–4) καὶ λέγειν π[ῶς αὐτὸς α]ὐτὸν σώσ[ειεν ἐπὶ σκην]ήν.
XXVI. 1–10 Epit. Oxyrh. P. IV 699 (spatio relicto continuans c. 25 extr.) [ἡ ὀλι]γ[αρχ]ία ἐστ[ὶν φιλαρχία] τις ἰσχύος κ[αὶ κέρδους γ]λιχομένη [. ὁ δὲ ὀλιγαρχικ]ὸς τοιοῦτος· ‘ἰδία[ι, φησί, ζῶ]μεν’, λέγων ‘οὐκ [ἀγαθὸν

---

25 ὕπνον Blaydes λαχεῖν Reiske 29 τοὺς δημότας ⟨καὶ⟩ Gesner: [τοὺς δημότας] em. lect. v. 10 seclusi
XXVI. 2 φιλαρχία om. V: suppl. codex Rhedig. 22; olim sic coeptum esse conieci: ἡ δ’ ὀλιγαρχία δόξειεν ἂν εἶναι φιλαρχία (cf. Epit. Oxyrh.) ἰσχύος κ[αὶ Epit. Oxyrh.: ἰσχυρῶς V (corruptum ex ἰσχύ° S i.e. και confusum cum ∽ i.e. ως): ἰσχύος, οὐ Jebb 3 ὀλιγαρχικὸς Epit. Ox. (sec. spat.) et Casaubon: ὀλίγαρχος V τις recc.: om. V 4 βουλευομένου Casaubon: βουλομένου V προαιρήσονται V: corr. Schneider 5 τοὺς del. recc., Cobet ἀποφήνασθαι Schneider: ἀποφήνας ἔχει V 8 Ὁμήρου] B 204 10 ἀμέλει ... χρήσασθαι iteravit V

G. L. Spina, Un oligarca nella crisi della città, Class. ..., Quad. di Storia 7 (1981)/13, 271–9

τῶν λόγων χρήσασθαι ὅτι ‘ δεῖ αὐτοὺς ἡμᾶς συνελθόντας
περὶ τούτων βουλεύσασθαι καὶ ἐκ τοῦ ὄχλου καὶ τῆς ἀγορᾶς
ἀπαλλαγῆναι καὶ παύσασθαι ἀρχαῖς πλησιάζοντας καὶ ὑπὸ
τούτων αὐτοὺς ὑβριζομένους ἢ τιμωμένους ’, ⟨καὶ⟩ ὅτι ‘ ἢ
τούτους δεῖ ἢ ἡμᾶς οἰκεῖν τὴν πόλιν ’. καὶ τὸ μέσον δὲ τῆς 4
ἡμέρας ἐξιὼν καὶ τὸ ἱμάτιον ἀναβεβλημένος καὶ μέσην
κουρὰν κεκαρμένος καὶ ἀκριβῶς ἀπωνυχισμένος σοβεῖν τοὺς
τοιούτους λόγους τραγῳδῶν· ‘ διὰ τοὺς συκοφάντας οὐκ 5
οἰκητόν ἐστιν ἐν τῇ πόλει ’, καὶ ὡς ‘ ἐν τοῖς δικαστηρίοις
δεινὰ πάσχομεν ὑπὸ τῶν δεκαζομένων ’, καὶ ὡς ‘ θαυμάζω
τῶν πρὸς τὰ κοινὰ προσιόντων τί βούλονται ’, καὶ ὡς
‘ ἀχάριστόν ἐστι ⟨τὸ πλῆθος καὶ δοῦλον ἀεὶ⟩ τοῦ νέμοντος
καὶ διδόντος ’, καὶ ὡς αἰσχύνεται ἐν τῇ ἐκκλησίᾳ, ὅταν παρα-
καθῆταί τις αὐτῷ λεπτὸς καὶ αὐχμῶν. καὶ εἰπεῖν· ‘ πότε 6
παυσόμεθα ὑπὸ τῶν λῃτουργιῶν καὶ τῶν τριηραρχιῶν ἀπολ-
λύμενοι; ’ καὶ ‘ ὡς μισητὸν τὸ τῶν δημαγωγῶν γένος, τὸν
Θησέα πρῶτον φήσας τῶν κακῶν τῇ πόλει γεγονέναι
αἴτιον· τοῦτον γὰρ ἐκ δώδεκα πόλεων εἰς μίαν καταγαγόντα
⟨τὸν δῆμον αὐξῆσαι, ὥστε πάντων κρατῆσαι τοὺς πολλοὺς⟩
λυθείσης ⟨τῆς⟩ βασιλείας· καὶ δίκαια αὐτὸν παθεῖν· πρῶτον

---

*πο]λυκοιρανίη, εἶ[ς κοίρανος ἔστω, εἷς βασιλ[εύς]’. καὶ τοῦ δήμου χε[ιροτο-νοῦ[ν]τος πολλοὺς [λέγει παρελθ]ὼν ἀρκέσε[ιν ἕνα].*

---

11 λόγων Casaubon: ὀλίγων utrobique V 12 τ(ι)ȣ V (i.e. τούτων non minus quam τούτου) 14 ἢ τιμωμένους V: [ἢ τιμωμένους] Hanow: ⟨μᾶλλον⟩ ἢ τιμωμένους conieci ⟨καὶ⟩ suppl. Ussing 15 δεῖ sup. vers. add. V ὑμᾶς, sed corr. in ἡμᾶς sic V 18 τραγῳδῶν Herwerden (idem ego): τὴν τοῦ ὠδίω (τ̂ τ(ȣ) ὠδ(ω)ι′) V: τὴν τοῦ Ὠιδείου frustra Preller 19 οἰκῆ(τι) (i.e. οἰκητόν), suprascripta cruce, cui altera crux, sed illa lectione carens, in mrg. respondet. ipsi textus voci super τ′ correctio ωρ suprascripta quasi οἰκήτωρ V 20 δικαζομένων V: corr. Meier θαυμάζων V: corr. Schneider 22 ⟨τὸ πλῆθος καὶ ἀεὶ⟩ suppl. Ast: δοῦλον addidi 24 λεπτὸς] *tenuis ac sordidus*, cf. xix 7. Cebet. tab. 10. Polyb. 24, 7, 3: λιτὸς Buecheler: ἄλουτος Blaydes 25 λειτουργιῶν V 28 συναγαγόντα Cobet 29 ⟨τὸν δῆμον⟩ suppl. Schneider; proxima αὐξῆσαι . . . πολλοὺς supplevi 30 λυθείσης ⟨τῆς⟩ βασιλείας praeeunte Peterseno scripsi: λυθείσας βασι(λ) V: λῦσαι τὰς βασιλείας Kayser αὐτὸν del. Cobet

7 γὰρ αὐτὸν ἀπολέσθαι ὑπ' αὐτῶν'. καὶ τοιαῦτα ἕτερα πρὸς
τοὺς ξένους καὶ τῶν πολιτῶν τοὺς ὁμοτρόπους καὶ ταὐτὰ
προαιρουμένους.

## XXVII ΟΨΙΜΑΘΙΑΣ ΚΖ΄

1 Ἡ δὲ ὀψιμαθία φιλοπονία δόξειεν ἂν εἶναι ὑπὲρ τὴν
2 ἡλικίαν, ὁ δὲ ὀψιμαθὴς τοιοῦτός τις, οἷος ῥήσεις μανθάνειν
ἑξηκονταέτης γεγονὼς καὶ ταύτας λέγων παρὰ πότον ἐπιλαν-
3 θάνεσθαι. καὶ παρὰ τοῦ υἱοῦ μανθάνειν τὸ 'ἐπὶ δόρυ' καὶ
4 'ἐπὶ ἀσπίδα' καὶ 'ἐπ' οὐράν'. καὶ εἰς ἡρῷα συμβάλ-
5 λεσθαι τοῖς μειρακίοις λαμπάδα τρέχειν. ἀμέλει δὲ κἄν
που κληθῇ εἰς Ἡράκλειον, ῥίψας τὸ ἱμάτιον τὸν βοῦν
6 αἵρεσθαι, ἵνα τραχηλίσῃ· καὶ προσανατρίβεσθαι εἰσιὼν εἰς
7 τὰς παλαίστρας. καὶ ἐν τοῖς θαύμασι τρία ἢ τέτταρα πληρώ-
8 ματα ὑπομένειν τὰ ᾄσματα ἐκμανθάνων. καὶ τελούμενος τῷ
9 Σαβαζίῳ σπεῦσαι, ὅπως καλλιστεύσῃ παρὰ τῷ ἱερεῖ. καὶ
ἐρῶν ἑταίρας καὶ κριοὺς προσβάλλων ταῖς θύραις πληγὰς
10 εἰληφὼς ὑπ' ἀντεραστοῦ δικάζεσθαι. καὶ εἰς ἀγρὸν ἐφ' ἵππου
ἀλλοτρίου κατοχούμενος ἅμα μελετᾶν ἱππάζεσθαι καὶ πεσὼν
11 τὴν κεφαλὴν κατεαγέναι. καὶ ἐν δεκαδισταῖς συνάγειν τοὺς
12 μεθ' αὐτοῦ συναύξοντας. καὶ μακρὸν ἀνδριάντα παίζειν πρὸς

31 *καὶ τοιαῦτα κτλ.*] excerptoris breviantis sunt
XXVII. 3 *οἷος* recc.: *οἷον* V 4 *ἑξήκοντα ἔτη* recc. *ταύτας* recc.: *ταῦτα* V 5 *τὸ ἐπὶ* Schneider: *ἐπὶ τὸ* V 6 *ἡρῷα* (velut Aeantea, Thesea) corr. Schneider: *ἥρωα* V 8 *κληθῇ* ex *κληθεῖ* corr. V 9 *αἵρεσθαι* Meier (cf. Inscr. gr. ii 467, 13 sqq.): *αἱρεῖσθαι* V *εἰσιὼν* Ast: *εἰπὼν* V 12 *σαβαζίῳ* sic hoc loco V *καλλισ-τεύσει* Schneider 13 *ἑταίρας* Schneider: *ἱερᾶς* ex *ἱερὰς* corr. V *κριοὺς προσβάλλων*] *arietans* *θύραις* Schneider: *θῦ* cum cruce, cui in mrg. altera crux nuda respondet V 15 *μελετᾶν*, prius *ε* in ras. 2 litt. V 16 *ἐν δεκαδισταῖς* Wilhelm (cf. Bull. d. corr. h. xii 303): *ἕνδεκα λιταῖς* V 17 *μεθ' αὐτοῦ* scripsi: *μετ' αὐτοῦ* V *συναύ-ξοντας*] sc. *τὴν τῶν δεκαδιστῶν σύνοδον*, cf. Dittenberg. Syll. 730, 7 *μακρὸν ἀνδριάντα*] ludus ignotus; *μακρὰν φαινίνδα* ludens conieci ex Athen. i. p. 15 A sqq. *πέζειν* V